## ΣΙΜΙΟΥ ΠΕΛΕΚΥΣ

1 Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς κρατερᾶς μηδοσύνας ἦρα τίνων Ἀθάνᾳ
3 τᾶμος ἐπεὶ τὰν ἱερὰν κηρὶ πυρίπνῳ πόλιν ἠθάλωσεν
5 οὐκ ἐνάριθμος γεγαὼς ἐν προμάχοις Ἀχαιῶν
7 νῦν δ' ἐς Ὁμήρειον ἔβα κέλευθον
9 τρὶς μάκαρ ὃν σὺ θυμῷ
11 ὅδ' ὄλβος
12 ἀεὶ πνεῖ
10 ἵλαος ἀμφιδερχθῇς
8 σὰν χάριν ἁγνὰ πολύβουλε Παλλάς
6 ἀλλ' ἀπὸ κρανᾶν ἰθαρᾶν νᾶμα κόμιζε δυσκλής
4 Δαρδανιδᾶν χρυσοβαφεῖς δ' ἐστυφέλιξ' ἐκ θεμέθλων ἄνακτας
2 ὤπασ' Ἐπειὸς πέλεκυν τῷ ποκα πύργων θεοτεύκτων κατέρειψεν αἶπος.

## EXCERPTUM E SCHOLIIS (Anth. et Buc. K)

γέγραπται μὲν εἰς τὸν Ἐπειοῦ πέλεκυν. λέγει δὲ ὅτι δῶρον τῇ Ἀθηνᾷ ὁ Φωκεὺς Ἐπειὸς τῆς τέχνης καὶ ἐπινοίας χάριν ἀποτίνων ἀνέθηκεν, ᾧ ποτε τῶν ⟨θεο⟩ποιήτων πύργων κατήριπε τὸ τεῖχος ἡνίκα τῇ ἱπποποιήτῳ κηρὶ καὶ πυριπνόῳ τὴν πόλιν ἔκαυσεν· διὰ γὰρ τοῦ ἵππου εἷλον Ἴλιον ⟨οἱ⟩ Ἕλληνες, καὶ τοὺς αὐτῆς βαθυπλούτους ἄνακτας ἐκ βάθρων ἔσεισεν Ἐπειός, ὃς οὐκ ἦν προμάχοις ἐναρίθμιος ἀλλ' ἀπὸ κρηνῶν καθαρῶν πόμα ἔφερε τοῖς Ἀχαιοῖς [cf. Ath. 10. 456 F]· νῦν δὲ ἐχώρησεν εἰς τὴν Ὁμήρου ποίησιν διὰ τὴν Ἀθηνᾶς χάριν. μακάριος οὖν ὃν σὺ ἀπὸ ψυχῆς ἵλεως εἶδες· τῷ γὰρ τοιούτῳ καὶ εὐδαιμονία ἀεὶ παρακολουθεῖ.